ἐστὶ τρόπον τινὰ, καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις· καὶ ἄμφω τὰ πάθη, ἤθους χρηστοῦ· δεῖ γὰρ, ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς, συνάχθεσθαι καὶ ἐλεεῖν· τοῖς δὲ εὖ, νεμεσᾶν· ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γινόμενον· διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν. δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον, ὡς σύνεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν· ἔστι δ' ἕτερον· λύπη γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶ, καὶ εἰς εὐπραγίαν, ἀλλ' οὐ τοῦ ἀναξίου, ἀλλὰ τοῦ ἴσου καὶ ὁμοίου. τὸ δὲ, μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον πᾶσιν ὁμοίως δεῖ ὑπάρχειν· οὐ γὰρ ἔτι ἔσται, τὸ μὲν, φθόνος· τὸ δὲ, νέμεσις· ἀλλὰ φόβος, ἂν διὰ τοῦτο ὑπάρχῃ ἡ λύπη καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας. φανερὸν δὲ, ὅτι ἀκολουθήσει καὶ τὰ ἐναντία πάθη τούτοις· ὁ μὲν γὰρ λυπούμενος ἐπὶ τοῖς ἀναξίοις κακοπραγοῦσιν, ἡσθήσεται, ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίοις κακοπραγοῦσιν· οἷον, τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός· δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις· ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν· ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ· ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἂν ἅπερ τῷ ὁμοίῳ, καὶ αὐτῷ. καὶ ἔστι τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα· τὰ δ' ἐναντία, τοῦ ἐναντίου· ὁ γὰρ αὐτός ἐστιν ἐπιχαιρέκακος καὶ φθονερός· ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν· διὸ, κωλυτικὰ μὲν ἐλέους πάντα ταῦτα ἐστί· διαφέρει δὲ, διὰ τὰς εἰρημένας αἰτίας· ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν, ἅπαντα ὁμοίως χρήσιμα. πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσι τε νεμεσῶσι, καὶ ἐπὶ τίσι, καὶ πῶς ἔχοντες αὐτοί· εἶτα μετὰ ταῦτα, περὶ τῶν ἄλλων. φανερὸν δὲ ἐκ τῶν εἰρημένων· εἰ γάρ ἐστι τὸ νεμεσᾶν, λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν, πρῶτον μὲν δῆλον ὅτι οὐχ οἷόν τε ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν· οὐδεὶς γὰρ, εἰ δίκαιος, ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ· οὐδὲ γὰρ οἱ ἔλεοι ἐπὶ τοῖς ἐναντίοις τούτων εἰσίν· ἀλλ' ἐπὶ πλούτῳ καὶ δυνάμει, καὶ τοῖς τοιούτοις, ὅσων ὡς ἁπλῶς εἰπεῖν, ἄξιοι εἰσιν οἱ ἀγαθοί.

A oppositus est quodammodo, & per eosdẽ mores dolor propter indignas res secundas, & vtræque perturbationes sunt bonorum morum. Oportet enim eorum, qui indignè agunt malè, vicem dolere: & iis, qui bene, stomachari. Iniustum enim est, quod fit præter dignitatem. Quamobrem etiam deos dicimus stomachari. Existimabitur verò etiam inuidia miserationi eodem opponi modo, quasi quæ vicina, &
B eadem sit cum stomachatione: verùm est diuersa. Molestia quidem turbulenta etiam inuidia est, & propter prosperum euentum, sed non indigni, verùm æqualis & similis. Illud verò, ne ipsi aliquid contingat aliud, sed propter ipsum proximum omnibus similiter oportet inesse. non enim amplius erit illud quidem stomachatio, hoc verò inuidia, sed metus si ob id ipsum adsit molestia, & perturbatio, quia ipsi aliquid futurum sit mali, ab alius pro-
C speritate. Apparet autem fore, vt sint consequentes etiam contrariæ perturbationes his. Qui enim molestia afficitur ob eos, qui indignè malè agunt, lætabitur, aut molestiæ vacuus erit ob contrarios, qui malè agunt. vt ob parricidas, & sicarios, quando supplicio afficiantur, nemo molestia affectus fuerit, qui bonus sit: oportet enim gaudere propter tales eodem modo, ac propter bene agentes secundum digni-
D tatem: ambo enim iusta sunt & faciunt, vt gaudeat æquus. Necesse enim est eum sperare fore, vt adsint, quæ simili, etiam sibi ipsi. Et pertinent ad eosdem mores omnia hæc. Contraria verò ad contrarios. Idem enim est malis alienis gaudens, ac inuidus. Ex quo enim quispiam molestia afficitur, dum illud oritur, aut adest, necessarium est eum propter priuationem, & corruptionem eiusdem lætari. Quamobrem
E vim arcendæ misericordiæ omnia hæc habent: differunt verò dictis de causis. Quare ad non miserabilia reddenda, omnia similiter vtilia sunt. Ac primùm quidem de stomachando exponamus, quibus stomachentur, & ob quæ & quomodo se habentes ipsi, postea de aliis. Apparet autem ex iis quæ dicta sunt. Si enim stomachari est molestia affici ob eum qui apparet indignè bene agere, primùm quidem ma-
F nifestum est, non licere propter omnia bona stomachari. Nemo enim si iustus aut fortis sit, aut si virtutẽ consequatur, ei stomachabitur: neq. enim miserationes propter contraria horum sunt: sed propter diuitias, & potentiam, & res eiusmodi, quibus vt simpliciter dicam, digni sunt boni